www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

Κανὼν εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα καὶ Μυροβλήτην Δημήτριον

Ἦχος πλ.δ΄

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

Ἕτερος εἰς τὸν ἅγιον Μεγαλομάρτυρα καὶ Μυροβλήτην Δημήτριον, οὗ ἡ ἀκροστιχίς, «Ὕμνοις ἐξάδω τὸν μυροβλήτην», ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.» Ἦχος πλ.δ΄

Ὠιδὴ Α΄ Ἁρματηλάτην Φαραώ.

Ὑμνολογίαις τὴν λαμπρὰν καὶ ἔνδοξον, τοῦ Μυροβλήτου νυνί, Δημητρίου μέλψαι, ἑλομένῳ δώρησαι, Τριὰς ἡ παντεξούσιος, φωτισμὸν θεία μνήμη, Ἄναρχε Πάτερ καὶ σύνθρονε, Λόγε καὶ τὸ Πνεῦμα τὸ Ἅγιον.

Μύστης θεόφρον τῆς ἀμώμου πάνσοφε, καὶ ἀκραιφνοῦς ἀληθῶς, πίστεως ἐγένου, τῆς Χριστοῦ Δημήτριε, τὸν σκοτασμὸν διέλυσας, τῶν εἰδωλομανούντων, Θεσσαλονίκης τὸ καύχημα, καὶ τῆς Ἐκκλησίας προπύργιον.

Νικῶν ὡράθης δυσμενῶν τὰς φάλαγγας, τῶν ἀοράτων ὁμοῦ, καὶ τῶν ὁρωμένων, ἐν τῇ πίστει ἅγιε, καλλίνικε Δημήτριε, ἀθλοφόρων ἀλείπτα, τοῦ τοῦ παντὸς βασιλεύοντως, μαχητὰ Χριστοῦ γενναιότατε.

Θεοτοκίον.

Ἱλαρωτάτῃ Παναγία Δέσποινα, τῇ προαιρέσει ὡς πρίν, χήρα νῦν προσφέρων, τουτονί τὸ δίλεπτον, τὸν ὕμνον καί μοι δώρησαι, πρὸ τοῦ τέλους τὴν τρίβον, τῆς μετανοίας ἀπάρξασθαι, τῶν χριστιανῶν ἡ ἀντίληψις.

Ὠιδὴ Γ΄ Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ὁ καθειρχεὶς ἐν ζοφεροῖς, ἐνδιαιτήμασι μάρτυς, τὰς ἀκτίνας τῶν σῶν λόγων ὡς ἄλλος, τηλαυγέστατος ἀστήρ, ἐξέπεμπες Δημήτριε, καθοδηγῶν προφρόνως πρὸς τοὺς ἀγῶνας τὸν Νέστορα.

Ἰσχύει μάρτυς τοῦ σταυροῦ, καθοπλισάμενος πάσας, προσβολὰς τῶν ἐναντίων καθεῖλες, τῇ ἀγάπῃ τοῦ Χριστοῦ, Δημήτριε πυρούμενος, δι᾽ ὃν κρουνοὺς αἱμάτων, τῶν σῶν ἐξέχεας ἔνδοξε.

Σῶμα κατέχουσα τὸ σόν, ἡ περιώνυμος πόλις, θησαυρὸν Θεσσαλονίκη ὡς ἄλλον, ἐναβρύνεται πιστοῖς, παρεχομένη ἔνδοξε, τὰ πανευώδη μῦρα, τοῖς ἀσθενοῦσιν ἰάματα.

Θεοτοκίον.

Λυμαινομένης τῶν βροτῶν, τοῦ γένους τῆς τοῦ θανάτου, Παναμώμητε φθορᾶς τῷ σῷ τόκῳ, ταύτην ἔστησας Θεόν, ἐν σῇ γαστρὶ ἀμόλυντε, συνειληφυῖα τοῦτον, ὑπερφυῶς Θεονύμφευτε.

Ὠιδὴ Δ΄ Σύ μου ἰσχύς.

Ἐπιποθῶν τῶν ἀθανάτων Δημήτριε, τῶν προσκαίρων, πάντων κατεφρόνησας, μεγαλοκῆρυξ ἀναδειχείς, πίστεως τρισμάκαρ, Χριστεπωνύμων πανένδοξε, διὸ ἐν τῷ σταδίῳ, ἀνεβόας τῷ Κτίστῃ, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ξένα τὰ σά, μεγαλομάρτυς Δημήτριε, στεφανίτα ὄντως καὶ παράδοξα, πῶς τῶν λειψάνων σου ἡ σορός, θεία μυροθήκη, κρουνοὺς ὡράθη προχέουσα, πιστοῖς τῶν ἰαμάτων, τοῖς θερμῶς προσιοῦσι, μυροβλύτα φιλάθλων ἐντρύφημα.

Ἀπὸ τῆς γῆς, πρὸς τὰ οὐράνια ἔφθασας, γενναιόφρον ἀθλητὰ Δημήτριε, λόγχαις τρωθείσης σου τῆς πλευρᾶς, ἔνθα σὺν Ἀγγέλοις, ἀπαύστως ψάλλεις γηθόμενος, καὶ ταῖς χοροστασίαις, τῶν ἁγίων ἁπάντων, Ἰησοῦ τῇ δυνάμει σου δόξα σοι.

Θεοτοκίον.

Ἀγγελικῇ φωνῇ Παρθένε συνέλαβες, τὸν πρὸ πάντων τῶν αἰώνων Κύριον, ἐν τῇ σῇ μήτρᾳ ἄνευ σπορᾶς, καὶ ἀφθόρως κόσμου, εἰς σωτηρίαν γεγέννηκας, ὃν πάντοτε δυσώπει, ἡμῖν δοῦναι πταισμάτων, τῶν πολλῶν Παναγία τὴν ἄφεσιν.

Ὠιδὴ Ε΄ Ἵνα τί με ἀπώσω.

Δυνατὸς ἐν ἰσχύει, ὤφθης παμμακάριστε σθένει τοῦ Πνεύματος, τὴν Λυαίου ῥώμην, καταβάλλων σοφὲ καὶ τὴν ἔπαρσιν, Νέστορα τὸν θεῖον, ἐν τῷ σταδίῳ ἐνθαρρύνων, τὸν Χριστοῦ ἀθλητὴν γενναιότατον.

Ἱλαρίωνος Μοναχοῦ

Ὡς πολλὴν κεκτημένος, πρὸς τὸν σὸν Δεσπότην παρρησίαν ἔνδοξε, τοῦτον ἐκδυσώπει, τοῦ τυχεῖν τῶν πταισμάτων τὴν ἄφεσιν, τοὺς σὲ ἀνυμνοῦντας, καὶ τῶν σωμάτων μυροβλύτα, τῶν καμνόντων τὴν ἴασιν δώρησαι.

Τιτρωσκόμενος λόγχαις, πρὸς Χριστὸν μακάριε μάρτυς ἠτένιζες, τούτου γὰρ τῷ πόθῳ, παναοίδιμε διακαιόμενος, θῦμα πανευῶδες, σαὐτὸν προσέφερες τῷ Κτίστῃ, στεφηφόρε θεόφρον Δημήτριε.

Θεοτοκίον.

Ῥυπαρῶν ἐκ χειλέων, δέξαι Ἀειπάρθενε τὰς τοῦ ἱκέτου σου, φωνὰς Παναγία, καὶ πρὸς τρίβους πρὸ τέλους ὁδήγησον, τοῖς τῆς μετανοίας, ὅπως πυρὸς τοῦ αἰωνίου, προμηθείᾳ τῇ σῇ διαφεύξομαι.

Ὠιδὴ ΣΤ΄ Ἱλάσθητί μοι Σωτήρ.

Ὁ μέγας τρισαριστεύς, καὶ στεφανίτης Δημήτριος, Χριστοῦ τοῦ πάντων Θεοῦ, πιστῶν τὰ συστήματα, συγκαλεῖται σήμερον, φαιδρῶς ἑορτάσαι, τὴν σεπτὴν αὐτοῦ πανήγυριν.

Νυγείσης σου τῆς πλευρᾶς, τροπαιοφόρε Δημήτριε, ἀνέπτης πρὸς οὐρανόν, Χριστὸν ἱλεούμενος, τὴν αὐτοῦ λυτρώσασθαι, ποίμνην μὴ ἐλλείπης ἐκ παντοίων περιστάσεων.

Μαρτύρων σὺν τοῖς χοροῖς, Δημήτριε παριστάμενος, τῷ ἐν Τριάδι Θεῷ, εἰρήνην τὴν σώτειραν, βραβεῦσαι μακάριε, νῦν τῇ ὀρθοδόξῳ, Ἐκκλησίᾳ καθικέτευε.

Θεοτοκίον.

Ἰὸν ἡ Εὔα τὸν πρίν, ὡς δεξαμένη τοῦ ὄφεως, ταῖς ἀκοαῖς τὴν ἀράν, Ἀγνὴ ἐπεσπάσατο, τοῦ Ἀγγέλου τὴν φωνήν, σὺ δὲ ἠχηθεῖσα, ταύτην Κόρη ἐξηφάνισας.

Ὠιδὴ Ζ΄ Θεοῦ συγκατάβασιν.

Ὑμνοῦμεν Δημήτριε, τῶν θαυμασίων σου τὴν πληθὺν οἱ πιστοί, σὺ γὰρ ὤφθης ἀπείργων, ἐθνῶν βαρβάρων ἐπιδρομὰς ἐκ τῆς σῆς, πόλεως

μάρτυς τῆς πόθῳ ὑμνούσης σε, καὶ εὐλογούσης ἀεί, τὸν τῶν Πατέρων Θεόν.

Ῥοαῖς ταῖς τῶν μύρων σου, ἡ Ἐκκλησία στολιζομένη πιστῶν, συγκαλεῖ τὰς χορείας, ἀγαλλομένη βοᾶ, Χριστῷ τῷ πάντων Δημιουργῷ καὶ Θεῷ, εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ Κτίστης τοῦ σύμπαντος, ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν, ἀληθῶς αὐτὴν τρέμειν, τοῦ Δημητρίου εὐχαῖς φιλανθρωπότατε ταύτην στήριξον, εὐλογημένος γὰς εἶ, ὁ τῶν Πατέρων Θεός.

Θεοτοκίον.

Ὠιδὴν τῷ Παντάνακτι, παῖδες ἀνέμελπον ἐν καμίνῳ τὸ πρίν, τὸν σὸν τόκον Παρθένε, τὸν ὑπὲρ Λόγον Ἁγνή, καὶ ὑπὲρ φύσιν καὶ ὑπὲρ ἔννοιαν, εὐλογημένη εἶ σὺ Θεόν ἡ τέξασα.

Ὠιδὴ Η΄ Ἑπταπλασίως κάμινον.

Βασιλευόντων ἔνδοξε, ἀθλοφόρε Δημήτριε, δυσμενῶν τὰ θράση, εὐθαρσῶς κατέβαλες, εἱρκτῇ συγκλειόμενος, ὁ παντελεύθερον τὴν ψυχήν, ἔχων καὶ Χριστῷ, τῷ Λυτρωτῇ ἀνεβόας, οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαοὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Λελαμπρυσμένος ἅγιε, τῷ Κυρίῳ ἀνέδραμες, ἐν τῷ σώματί σου, τῶν λογχῶν τὰ τραύματα, προθύμως δεξάμενος, καὶ πορφυρίδι καλλωπισθείς, ὥσπερ ἀθλητά, τῇ τῶν οἰκείων αἱμάτων, ὃν πάντοτε δυσώπει, πειρασμῶν καὶ κινδύνων, ἡμᾶς ἐκλυτρωθῆναι, τοὺς πόθῳ σε ὑμνοῦντας.

Ἡ ἐνικὴ καὶ τρίφωτος, ἡ τὸ πᾶν ὑποστήσασα, πάνταρχος Θεότης, ὁ Πατὴρ ὁ ἄναρχος, Υἱὸς ὁ συνάναρχος, καὶ Πνεῦμα τὸ Πανάγιον, ἡ πανσθενουργῷ, τὰς τῶν μαρτύρων χορείας, ῥωνύουσα δυνάμει, τοῦ βοᾶν ἐν σταδίῳ, τὸν Κύριον ὑμνεῖτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Νοσοῦσαν ἐθεράπευσας, ἀνιάτως τὴν βρότειον, φύσιν ὡς τεκοῦσα, τῆς Τριάδος Ἄχραντε, τὸν Ἕνα ἐν φύσεσι, διτταῖς ὃν καθικέτευε, τῶν

Χριστιανῶν τὴν παναμώμητον πίστιν, ἀλώβητον τηρῆσαι, ἐξ ἐχθρῶν ἀοράτων, καὶ ἐκ τῶν ὁρωμένων, εἰς πάντας τοὺς αἰῶνας.

Ὠιδὴ Θ΄ Ἐξέστη ἐπὶ τούτῳ.

Τὴν πάντιμον πανήγυριν οἱ πιστοί, ἐκτελοῦντες ἐν ὕμνοις καὶ ἄσμασι, χαρμονικοῖς, τοῦ πεντάθλου μάρτυρος εὐαγῶς, ἐν τῷ πανσέπτῳ σήμερον, καὶ τῷ πανιέρῳ αὐτοῦ ναῷ, αὐτῷ θερμῶς βοῶντες, Δημήτριε τρισμάκαρ, ἀεὶ σὴν ποίμνην διαφύλαττε.

Ἡμέρα πανευφρόσυνος ἑορτῆς, παγκοσμίου πιστῶν τὸ ἐντρύφημα, τοῦ εὐκλεοῦς, τοῦ ἐν εὐωδίᾳ πνευματικῇ, ἡμᾶς καθαγιάζοντος, τοῦ ἐν στεφηφόροις πρωταθλητοῦ, τοῦ θείου Δημητρίου, πανσέπτου μυροβλύτου, καὶ ἱεροῦ μεγαλομάρτυρος.

Νομίμως ἐναθλήσας τῷ παντουργῷ, παριστάμενος νῦν τούτῳ πρέσβευε, διηνεκῶς, σὺν τῷ συναθλήσαντι εὐκλεῶς, τῷ στεφανίτῃ Νέστορι, ἔνδοξε Δημήτριε τουτονί, τὸν τάραχον πραΰναι, τῆς Ἐκκλησία μάκαρ, καὶ τὴν ὁμόνοιαν δωρήσασθαι.

Θεοτοκίον.

Μητέρα οἱ τὸ Ὄρος Ἄθω τὸ σόν, ἐνοικοῦντες Παρθένε καλοῦμέν σε, παναληθῆ, καὶ σὲ ἱκετεύομεν ἐκτενῶς, ἀεὶ τὸν σὸν περίβολον, τοῦτον διαφύλαττε ἀγαθή, καὶ τῆς ἀτελευτήτου, μελλούσης Βασιλείας, ἡμᾶς ἀξίωσον Πανάχραντε.

Προσόμοια.
Ποίοις εὐφημιῶν. Ἦχος β΄

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν τὸν ἀθλοφόρον, τῆς Θεσσαλονίκης τὸ καύχημα, καὶ τῆς Ἐκκλησίας προπύργιον· τῶν πιστῶν ἡ δόξα καὶ προστάτης, ὁ πλάνην, καταβαλὼν τῆς ἀθεότητος, εἰδώλων, ὁ καταργήσας τὴν προσκύνησιν, καὶ τὴν Ἁγίαν Τριάδα, ἐν μιᾷ Θεότητι, ὡς ἁπάντων Δημιουργόν, κηρύττων διέλυσε, ἀσεβείας τὴν σκοτόμαιναν.

Ποίοις μελωδικοῖς ἄσμασι, ἐπαινέσωμεν τὸν Μυροβλύτην, τὸν πεποικιλμένον τοῖς στίγμασι, καὶ πεφοινιγμένον τοῖς αἵμασι· τὸν εἰς

www.tezaurliturgic.ro

οὐρανοὺς ἀναδραμόντα, τὸν λόγχαις τῶν ἀοράτων τροπωσάμενον, τὰ στίφη, ἐχθρῶν καὶ στέφανον δεξάμενον, τὸν τῷ Χριστῷ παρεστῶτα, καὶ ἀεὶ πρεσβεύοντα, σὺν Ἀγγέλων ταῖς στρατιαῖς, καὶ Μαρτύρων τάγμασι, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Ὕμνοις μελωδικοῖς ἅπαντες, καταστέψωμεν τοῦ ἀθλοφόρου, μνήμην τὴν πανίερον σήμερον, καὶ κοσμοχαρμόσυνον ἄθλησιν, γηθοσύνως τούτῳ ἐκβοῶντες· χαίροις, κῆρυξ τῆς πίστεως Δημήτριε, χαίροις, ὁ τῶν αἱμάτων σου τοῖς ῥεύμασι, ταύτην κρατύνας γενναίως, καὶ τῶν μύρων σου προχοαῖς, καὶ ψυχὰς καὶ σώματα, ἁγιάζων, τοὺς ἐν πίστει προσιόντας σοι.

Θρόνῳ στεφηφορῶν ἔνδοξε, τῆς Ἁγίας παριστάμενος Τριάδος, σὺν τοῖς οὐρανίοις στρατεύμασι, καὶ τοῖς τῶν Μαρτύρων συντάγμασι, καὶ ἁγίων πάντων ταῖς χορείαις, ἀπαύστως ταύτην ἱκέτευε Δημήτριε, εἰρήνην, τῇ Ἐκκλησίᾳ καὶ ὁμόνοιαν, ταχὺ δωρήσασθαι μάκαρ, ἐκταρασσομένην, ἐξ ἐχθίστων τῶν δυσμενῶν, τῶν Συνόδων ἅπαντας, θείους ὅρους, δυσσεβῶν τοὺς διαστρέψαντας.